δ. Αὐτοκράτωρ Ἰουστινιανός. Θεσπίζομεν, ὅσοι ἐν ἐκκλησίαις, ἢ ἐν ῥύμαις, ἢ ἄλλοις τόποις ἀπορριφέντες δειχθῶσι, τούτοις πᾶσι τρόποις ἐλευθέροις εἶναι. καὶ εἰ ἀκριβής τις ἀπόδειξις ὑπάρχει τῷ ἐνάγοντι, εἰς τὸ δεῖξαι τὸ τοιοῦτον πρόσωπον τῇ αὐτοῦ διαφέρειν δεσποτείᾳ. εἰ γὰρ τοῖς ἡμετέροις προστέτακται νόμοις, ὥστε τοὺς νοσοῦντας οἰκέτας παρὰ τῶν δεσπότων καταφρονηθέντας, καὶ ὡς τῆς αὐτῶν ὑγείας ἀπελπισθείσης ἐκ τῶν κεκτημένων ἐπιμελείας μὴ ἀξιουμένους πάντως εἰς ἐλευθερίαν ἀφαρπάζεσθαι· πῶς ἄραγε τοὺς ἐν αὐτῇ τῇ τῆς ζωῆς ἀρχῇ τῇ τῶν ἄλλων ἀνθρώπων καταλειφθέντας εὐσεβείᾳ, καὶ παρ᾽ αὐτῶν ἀνατραφέντας, ἀνεξόμεθα εἰς ἄδικον δουλείαν κατέλκεσθαι· ἀλλὰ τούτους ἐλευθεροῦσθαι θεσπίζομεν, μήτε τὰς ἐκ τῶν ἡμετέρων νόμων τῶν ταῦτα πραττόντων διαφευγόντων ποινάς· οἷα πάσης ἀπανθρωπίας καὶ ὠμότητος πληρωμένων· καὶ τοσούτων πάσης μιαιφονίας χείρονας, ὅσον ταύτην τοῖς ἀθλιωτήροις ἐπάγουσι.

IV. Imp. Ivstinianvs. Sancimvs vt quoscunque, vel in eccleſiis, vel in vicis, vel aliis locis abiectos conſtiterit, ii modis omnibus liberi ſint: etiamſi certam quandam probationem petitor habeat, qua oſtendat eiusmodi perſonam ad ſuum pertinere dominium. Nam ſi legibus noſtris ſtatutum eſt, vt ſerui aegrotantes a dominis neglecti, et qui velut deſperata eorum valetudine poſſeſſorum curatione digni non cenſentur, omnino in libertatem abripiantur: quonam pacto in ipſis vitae primordiis aliorum hominum pietati relictos, et ab eis educatos, in ſeruitutem iniquam pertrahi patiamur? Enimuero liberos eſſe ſancimus, ne illis quidem, qui haec faciunt, irrogandas ex legibus noſtris poenas effugientibus: velut omni refertis inhumanitate, et crudelitate, quae tanto quouis homicidio peior eſt, quanto miſerioribus eam inferunt.